P V I S

1 6 1 8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-216882-p0001-6

I. Conradi Rittershusii Paraphrasis Psalmi XC nuptiis dic[...]
II. Bersmani paraphrasis Psalmor. Lætatur, 121. 91. 125. 124.
III. Bersmani paraphrasis Psalmorum 22. 16. 69.
IV. Bersmani paraphrasis Psalmi 68.
V. Bersmani Epipemphicon Psalmorum 91. 97.
VI. Bersmani Psalmi 104. & 19.
VII. Poletani Paraphrasis Prophetæ Jonæ
IIX. Mundorphii paraphrasis Jonæ.
IX. M. Isaaci Gregorii Jonas.
X. Johannis Fabri de Nativitate Christi.
XI. M. Theodori de Nativitate Christi.
XII. Waltheri Oda de Redemtionis Opere.
XIII. Opitii de Descensu Christi ad Inferos.
XIV. Dornavii Heptas simulacri Resurrectionis.
XV. Stentoribus ubiq impudentissimis.
XVI. Trautmanni instructio pro vero Lutherano.
XVII. Praetorii Ep[isto]la Germaniae ad Electores.
XIIX. Moitti eucharistica ad Christianum Pr. Anhalt.
XIX. De reb. gestis Johannis Ernesti Pr. Anh.
XX. Henrici ab Eicken ad Mauritium Hassiæ
XXI. Abrahami Cremeri ad Electorem Brand.
XXII. M. Amlingii gratulatio in Natalem Rudolphi Principis Anhaltini.
XXIII. Moitti in Nuptias Rudolphi Pr. Anh.
XXIV. Bersmani Ecloga Rodolphus.
XXV. Bromii Nuptiis 2dis Rudolphi Pr.
XXVI. Wesini et M. Jenæ Nuptiis eiusdem.
XXVII. Parentalia Augusto Electori à D. Majore habita.
XXIIX. Epithalamium Johanni Ernesto Principi Anhaltino à Alberto Voito dictus.
XXIX. Fortschii in obitum Ejusdem Principis.
XXX. Angelii ad Baronem de Wesnitz.
XXXI. Memoriæ Danielis Diepoldii.
XXXII. Abrahami Cremeri propempticon à Bohem.
XXXIII. Propemptica Fusselio et Cremero dicta.
XXXIV. M. Victori, cum renunciaretur Rector.
XXXV. Ode Sapphica in Doctores Honoratus Fusselii &c.
XXXVI. In Magisterii Honorem Joan. Cramer[i]
XXXVII. M. Bermanni in honorem Magisterii Ipsensis XX juvenum.
XXXIIX. M. Roorbii in Magisterium Haberlandi.
XXXIX. In Magisterium Coppenii
XL. Bethmanni Herdesiani.
XLI. Christiani Ziegleri.
XLII. Abrahami Theopoldi.
XLIII. M. Coppenii Gratiani. Actio post Magist[...]
XLIV. De Dignitate Consulari Trescho[...]
XLV. De Dignitate Notariatus Gelani.
XLVI. Aphorismorum Politicorum Regula.
XLVII. Nuptiis Petri à Jena.
XLIIX. ... Puchneri.
XLIX. ... Richardi.
L. Wolfgangi Hanen.

Ec. 11

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-216882-p0002-2
DFG

XLIIX

# Gratulatoria

# In Honorem Nuptiarum,

CLARISSIMI ET DISERTISSIMI VIRI, Dn. M. MICHAELIS Richardi, Professoris oratoriæ in celeberrima VViteberg. Acad. publici, sponsi: & lectissimæ castissimæq; virginis, ANNAE, integerrimi viri, Ioachimi Beckers, ciuis quondam Hamburgensis filiæ, sponsæ, conscripserunt.

VVITEBERGAE

Excudebat Matthæus VVelack.

Anno 1589.

3

Claris. viro, excellenti doctrina, pietate

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-216882-p0004-3

Ἔμμορε θησαυροῦ ἐριτίμου ἠδὲ καὶ ἐσθλοῦ,
ξυμπάντων γεράτων μεῖζον ἔχει τε γέρας·
ὃς μορφῇ ἀγανῷ κ' ἤθεσι καθεῦσαν ἀμέμπτοις,
ἐν φρεσὶν εὐσεβίην ἠδὲ φιλοῦσαν ἑῆς
κουριδίην νύμφην ἀεὶ ἐσσομένην παράκοιτιν
λαμβάνει εἰς εὐνὴν φραδμοσύνῃσι θεοῦ.
ἠδὲ γὰρ ἐν πάσῃ ὁμοδεμνίῳ ἀνδρὶ πάρεστι
μοίρῃ εὐφροσύνης καὶ μετέχουσα πόνων
πρήγμασιν ἐν χαλεποῖς κραδίην ὅταν ἄλγος ἄγρυπνον
γυιοκόρος τ' αὐτοῦ φροντὶς ἔδουσι φρένας·
αἱμυλίοις θέλγει μιν καὶ μαλακοῖσιν ἔπεσσιν,
καὶ λύπης χαλεπῆς ἄπετον ἄλκαρ ἔφυ·
ἐνθ' ἅμα εὐτυχίῃ ἐπίηρα φέρει ἀγαπητῷ
τερπομένῳ χάρισιν παντοδαπῇσι πόσει:
ὥσθ' ὅγε θυμοβόρων μελεδωνῶν νόσφι δύνηται
εὐθύμως βίοτον ζῆσαι ἔκηλον ὅλον,
καὶ πολιοκροτάφου γεννᾶσαι γήραος ἄχρι
θεοσεβεῖς υἱοὺς καὶ χαρίεντας ἑοί.
τοὔνεκα δὴ κόσμου ὁ θεὸς νεοπήκτου ἐν ἀρχῇ
ἐξ Ἀδάμου πλευρᾶς πλάσε γυναῖκα καλήν,
τὴν δ' αὐτῷ μετέπειτ' εἰργμῷ συνέδησε βεβαίῳ
ξύμβιος ὥστε ἔῃ οἷ γε συνεργὸς ἀεί·
τοῖον καὶ μῦθον θείῃ ἐφθέγξατο φωνῇ
τοῦ κόσμου κτιστὴς εὐρυχόροιο ἐύς:
οὐκ ἀγαθός πέλεται ἄγαμος βίος ὠφέλιμός τ' οὐκ
ὃν διάγει ἑτάρης νόσφ' ἀλόχοιο ἀνήρ·
βούλομαι οὖν δύο εὖ κοιμᾶσθαι ἐν μιᾷ εὐνῇ
σύν τε γυναικὶ πόσιν σάρκα μίαν ἔμεναι,
ἀλλήλων τ' ἐθέλω πιστοὺς ξυνήονας ἔργων
εἶναι ἐν εὐτυχίῃ δυστυχίῃ τε ὁμῶς.
ὅττι κεν οὖν θεότευκτα ἔασιν χρηστὰ ἅπαντα
ἔργματα, καὶ πάντων ἔξοχ' ἄρις' ἀγαθῶν·

συζύγου ἥδύτερον βιότῳ καὶ βέλτερον οὐδὲν
μηδέ τι λωΐτερον γαῖα πελώρη ἔχει:
ὃν θείῃ χ᾽ ὁσίῃ βουλῇ θεὸς αὐτὸς ἔταξεν,
ὅν τ᾽ αὐτὸς χρηστὸν μαρτυρέει ἔμεναι.
τοῦτο καὶ ἱστορίης ἁγίης παραδείγματα πολλά,
καὶ ἅγιαι πᾶσαι μαρτυρέουσι βίβλοι:
θεοσεβὴς Ἀβραὰμ κλειτὸς καὶ φαίδιμος ἥρως
ὅς γε δικαιοσύνην ἔλλαβε πίστιν ἔχων.
τῇ Σάῤῥᾳ τερενόχροϊ ἐν φιλότητι συνοικῶν
οὕτως τερπνότατον πάντα διῆγε βίον.
Ἰσαὰκ εὐπειθὴς περὶ γαίης τηλόθ᾽ ἐούσης
σύγγαμον εἰς αὐτοῦ οἶκον ὁμευνον ἄγει,
καλλιῶπα Ῥεβέκκαν, ἐπήρατον εἶδος ἔχουσαν
ἐν λεχέεσσι χρόνον στέρξεν ἑοῖσι πολύν
εἰσόκεν ἀμφοτέρους μάλ᾽ ὁμόφρονα θυμὸν ἔχοντας
ὀψίτερον πολιὸν γῆρας ἵκανεν ὁμῶς.
ἔξοχα οὖν συνέσει τ᾽ ἀρετῇ τε κεκασμένε γαμβρὲ
ὄλβιος, εὐδαίμων καὶ μάκαρ ἐσσὶ μάλα,
σοὶ θεὸς εὐχομένῳ ὅτι πενθάδ᾽ ἀφεῖλεν ἀνίην
ἣν πρὶν ἀμείλικτος μοῖρα ἔθηκε τεΐν,
ἀνταποδοὺς νύμφην αὖ κουριδίην σοὶ ἐς εὐνὴν
τηλόθεν ἐκ ζαθέης γαμβριβίων πόλεως
ἥτε δέμας ῥοδόχρως ἀρετήν τε φύσιν τε ἀρίστη
ἐν βλεφάροισι σέλας λαμπρὸν ἔχει λιπαροῖς,
νυμφίε χαῖρε λίαν πραπίδεσσι τ᾽ ἀγάλλεο σῇσιν
τοῦ γέρατος τόσσου θείου ἕκητι τυχών
χαῖρε καὶ ἠΰκόμης σὺ νυὸς γαμβροῖο τυχοῦσα
οὗ κλέος ἐκ μουσῶν γλῶσσαν κατὰ πᾶσαν ἔχει,
ὅντε χορὸς συνετῶν ἔξοχα ἀνδρῶν πολλὰ γεραίρει,
λευκόρεον σοφίης οὖς εἶδος ἐντὸς ἔχει
ὃς εὖ νοεῖν πέρι καὶ πέρι βάζειν ἠδὲ διδάσκειν
τοῦ μέλιτός τε χέει γλώσσης ἔπη γλυκίω.

τοῦ

τοὔνεκά μιν τιμᾷ μέγα πᾶς φιλόμουσος ὅμιλος
ὃς τῶν πιερίδων ἄνθεα καλὰ δρέπει
τόν, δ' οὖν καὶ τιμᾷ σὺ νυὸς χαρίεσσα καὶ ἁγνὴ
καὶ περὶ κῆρ αὐτὸν μήποτε λῆγε φιλεῖν.
δηρὸν εὖ ζώοιν ἐν ὁμοφροσύνῃ παναρίστῃ
πολλά τε γεννᾶσαι ἀγλαὰ τέκνα ὁμῶς.
οὐράνιον μετέπειτα βιόντε ἄγοιν ἐν ὀλύμπῳ,
εὔχομαι εὐφρονέων κηρόθι ὔμμιν ἐγώ.

M. Levinus Dippius Eglensis Sax.

## Η ΕΚΛΟΓΗ: ΕΥΓΑΜΟΣ, ΔΙΝΟΣ, ΠΡΟΜΗΘΕΥΣ.

Ὥσπερ ἐνὶ στονόεντ᾽ ἀγαθῷ κακὰ δοιὰ μέμικται
ὅτ, τ᾽ ἄρ πινδαρικὴ ἄμμε δίδαξε χέλυς:
οὕτω ἑὴν σοφίην ἐπιφαίνων ἠδὲ πρόνοιαν
ἐσθλὰ θεὸς λυγρῶν φάρμακα δῶκε κακῶν.
δαίμονι γὰρ μισανθρώπῳ λειτουργικὸς ἀντὶ
ἀγγελικῶν δούλων κείμενός ἐστι στρατὸς.
ὥσπερ ἀπειρεσίαις ἀλκὴ ἴσοισι παρείη
ποίας παντοδαπὰς εὔσταχυς αἶα φέρει.
τοῦτ᾽ ἐνὶ συζυγίῃ δὲ σαφέστερόν ἐστι θεείῃ,
τῆς ἐγκώμι᾽ ἐγὼ καὶ ψέγος ἤδη ἐρῶ.
Χριστὲ θεοῦ ἠεῦ τῇ ἀτέρμονι σύνθρονε ἕδρῃ
τὴν φρένα ἡγοῦ ἐμὴν καὶ φλέβα βρέξον ἐμήν.
ἦμος λῆξε μένος μέγα ὀξέος ἠελίοιο
ἡνίκ᾽ ἔραζε χέει φύλλ᾽ ἀνέμοιο πνοή.
εὔγαμος ἡδυθρόοις κλυτὸς ὕμνοις ἠδὲ ὁ Δῖνος
δένδρου ὑφ᾽ ὑψορόφου ἦσαν ὁμηγερέες.
ἔνθα καθίζοντες μὲν ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
αἶνον συζυγίης ᾄδεν ὁμῶς τε ψέγος.
εὔγαμος εὐχρήστου μεγαλώνυμον εὖχος ἔνισπε
συζυγίης Δῖνος κύπριδος ἔργα κακῆς.
οὗτος τερπόμενος μιαρῷ καὶ ἀσελγεῖ ἔρωτι
ἤρξατο καὶ πτερόεντ᾽ ὧδε προσηύδα ἔπη.
Δ πάντες ἐπιχθόνιοι ἄνθρωποι τὴν σύζυγα ζωὴν
ἀπαρχὲς φεύγωσ᾽ ὡς κύνα ἠδὲ ὄφιν.
μυρία ὠκυμόροις τίκτει γὰρ πήματα θνητοῖς.
τοὔνεκα συζυγίης δυστυχέουσι φίλοι.
Ε συζυγίη μεγάλων ὀφελῶν τοιοῦτον ἀριθμὸν
ὅσσα φαινόμεν᾽ εἰν οὐρανῷ ἄστρα ἔχει.
τοὔνεκα συζυγίην ἱρὴν περὶ κῆρι φιλεῦντες
παμμάκαρες ζωῆς εἰσιν ἐπ᾽ ἤμαθ᾽ ὅλης
Δ συζυγίη τάξις μὴ ἔφυ θεοῦ ἀθανάτοιο
παγκακοῦ ἀλλὰ κακὸν Δαίμονος ἐστὶ πλάγος.

ὅς

ὃς φθονέει μέροπας θνητοὺς ἐς ἄθεσμον ἔρωτα
ῥεύοντας ζωὴν αἰὲν ἀκηδῆ ἔχειν
τοὔνεχ' ὁμοζυγέες τάλανες καὶ κάμμοροί εἰσιν
μηδὲ ἣν εὐτυχίης οὔποτ' ἔχουσι μέριν
Ε ἐν ἀρχῇ κόσμου μάλ' ἐπίφρονι τάξατο βουλῇ.
συζυγίην θεὸς εἰς Εὔαν Ἀδάμῳ ἄγων.
ἣ δὲ νόμον θαλάμου κεδνοῦ κέλετ' ἔμπεδον εἶναι,
φάρμακον ὅπως ἀνόμῳ χρηστὰ ἔρωτι πορῇ.
μήπως ὁ θνητὸς διὰ κύπριδος ἔργα μιαίνῃ
σῶμα θεοῦ ναὸν κεδνὸν ἁγνῇ δὲ βίον.
ἣ δ' ἐνὶ συζυγίῃ φύῃ πολυήρατα τέκνα
σύζυγοι οὖν πάντως εὐτυχέουσι βροτοί
Δ οὐδὲν ἐν ἀνθρώποις πέλεθ' ἡδύτερον καὶ ἄρειον
εἴ τινα πικροχόλου νόσφι γυναικὸς ἔμεν.
χειμὼν γὰρ κατ' οἶκον ἔφυ καὶ πῆμα κάκιστον
τοὔνεκα δύσμοιροι σύζυγές εἰσι βροτοί.
Ε εἴλης συζυγίην αἴρει φοιβήϊον οὗτος
ἐκ κόσμοιο φάος μειλιχόδωρον ἔλει.
οἱ σκότος ἐμβάλλει καί μιν ποιεῖ αὐτὸς ὅμοιον
ἀνέρι σῶμα καλῷ ὄμμαθ' ὃς οὐδὲν ἔχει
Δ θηλυτέρη θέην πόρι μηδὲν ἔχουσα ἐφετμὴν
ποινὰς δεινοτάτας πᾶσιν ἔνεικε βροτοῖς.
Ε θῆλυς ἀπειρόγαμος χριστὸν τέκεν ἄμμιν ἰησοῦν
εἰκόνα ἠδὲ λόγον πανδυνάτοιο πατρός.
ὃς φύσιν ἀνδρομέην εἵσας νικῆσεν ὄλεθρον
οἰκτίστῳ θανάτῳ ὅντινα γεῦσε παθών
καὶ δι' ἀναστάσεως σφετέρης σωτήριον ἔργον
ἄϊδος ἀντιθέῃ κλεῖθρ' ἀλάπαξε βίῃ
τῇ ἐνὶ ἀνθρώπων γένος ἐφρούρητο ἀλιτρῶν
θεσμοῖς ἀρρήκτοις καὶ σιδηραῖσι πέδαις.
καὶ διὰ σφὴν νίκην μεγακυδέα πίστιν ἔχοντας
νικητὰς σατανᾶς ἔμμεν ἔδωκε βροτούς.

δεῖπνο

Δ δειπνολόχης δάμαρος μηδέν ποτε ῥίγιον ἄλλο
τρυχούσης πόσιος πικρογάμοιο βίον.
ἢ θ' ὁρμὴν ἴκελος κηφήνεσιν ἐστὶ κοθούροις
μηδεὶς γοῦν τοίην γῆμαι ἄκοιτιν ἐρᾷ.
E θῆλυς ἀριστόπονος πυκιμήδης πλοῦτον ὀφέλλει,
μὴ φίλος οἰκομπός, μήτε φίλη ἐστὶ τρυφῇ·
ἐς δὲ θεὸν μοῦνον σφῶν ἐλπίδα πᾶσαν ἰάλλει
εὔπορος οὖν τοίην ὃς παράκοιτιν ἔχει.
Δ πῆμα κακὴ γαμετὴ ταλαεργῷ ἀνδρὶ φυτεύει,
ἠδ' ἐνέπει τοῦτον κερτομίοισι λόγοις.
δὴ τότε συζυγίην ἐρίδες θορυβοῦσι κάκισται,
ὀργισθείς τε ἑὴν κτείνει ἄκοιτιν ἀνήρ.
E ἡ γυνὴ εὐπειθὴς θελκτήρια μυρί' ὀπάζει
δειναῖς τηκομένῳ ἀνέρι οὖσι παθαῖς
Δ ὕστατ' ὁμοζυγέας δεῖ ἀκούειν κλαύθματα τέκνων
καὶ τούτοις παρέχειν εἵματα ἠδὲ τροφήν.
τοὺς ἐνὶ παιδείᾳ καὶ νουθεσίῃ θεαρεστῶν,
(ὡς θεὸς ἐν νόμῳ πᾶσι κέλευσε) τρέφειν.
E ἐκ στομάτων γλυκερὴ ῥέει αὐδὴ νηπιαχόντων,
ἣ τοκέεσι κακῶν οἶσ' ἐπίληθον ἄγει.
πολλάκι αἰψηρὸν κόρον οἷο γόοιο γονεῦσιν
πέλοντα κρυεροῦ νήπια τέκνα φέρει.
Δ συζυγίῃ σκληρὸς κημὸς πέλει ἠδὲ χαλινός,
ὃν στόματ' ἐμβάλλει ἀνδρὸς ἄκοιτις ἑοῦ.
ὡς καὶ τὴν εὐδοκίην αὐτῆς σύμπαντα γένηται
τοὔνεκα δύστηνον σύζυγοι ἄγουσι βίον,
E οὔποτε αἰδοίη τις τολμᾷ τοῦτο ἄκοιτις,
κημὸν δ' ἐν πόσιος βάλλει ἀτασθαλίαις.
ὧν θεὸς ἀνθρώπους ἀπέχειν σφᾶς ἅπαντας ἄνωγε,
τοὔνεκεν εὔποτμοι σύζυγές εἰσι βροτοί.
Δ ἐκ τῆς συζυγίης ἄλλοι μὲν τέρψιν ἕλοιντο,
ἠδὲ γάμῳ σφετέρῳ πῆμα τ' ἄγοιντο γάμον.

μοι:

μοιχικὰ δὲ κραδίη κέλεταί μ᾽ ἀνὰ δέμνια βαίνειν
εἰς ὅκεν ἔμψυχον σῶμα ἔσεται ἐμόν.
οὐχ ἀλέγειν νεότης φιλεῖ, ἀλλὰ φιληδονός ἐστι
πάντοτ᾽ ἔχουσα φίλης κύπριδος εὐμενίην
Ε ἀργαλέαι ποιναὶ ἀνάβαντας ἀπότροπα λέκτρα
αἱ χαλεπαὶ νοῦσοι καὶ κακὰ δεινὰ μένει
φυξιγάμους ἄνδρας θεὸς οὐκ ἐᾷ εἶναι ἀτίτους
ἐν αἰῶνι παρόντ᾽ οὐδὲ ἀπόνῳ βίῳ
τοὺς δ᾽ ἄπρευπτος ὑπορχόμενος προσεῖπε προμηθεύς
νημερτῆ εἰδὼς δήνεα χρηστὸς ἀνήρ
Π κλύετε προφρονέως τὴν μευ ἐτυμηγόρον αὐδήν·
οὐκ ἄλοχ᾽ ὑμέτεροι πάμπαν ἔασι λόγοι.
αὐτὰρ Δίνε κριτὴς ἀρίπ κρος εἴ ἠδὲ ἀφνής
οὐκ αἴρειν ἀγαθὰ χρὴ κακοῦ εἵνεκ᾽ ἑνός.
μηδ᾽ ἐνὶ δυστυχίαις ῥίπτειν δεῖ χρήσιμα ἔργα,
ἡδέα γὰρ πικροῖς πάντοτε μικτὰ ἔφυ.
τίπτ᾽ οὖν συζυγίης ἀμελεῖς ὠφελήματα πλεῖστα
πολλάκι κἂν αὐτῇ πολλὰ ἔνεσι κακά;
μᾶλλον ἐθίζου ἔχειν διὰ τιμῆς ὕστερον ἁγνὴν
συζυγίην τάξιν πανδυνάτοιο θεοῦ.
τίς γοῦν συζυγίης ἐκτοσθεν ἄμεμπτος ἔσεται;
δῶρον γὰρ θεῖον κεδνὴ ἄκοιτις ἔφυ.
ἠδὲ γάμον τεύχειν ἢ πυρσοῦσθ᾽ ἐστὶν ἄμεινον,
εὔπορος οὖν λέχεος καὶ γάμοιο τυχών

Eustachius Metzelius
Ilmensis Thuringus.

# ALIVD,

Πάντων ἀμοιβὴν ἔμμεναι τῶν πραγμάτων,
ὡς κωμικός φησι μαρτυρεῖ ἐμπειρία.
κρυόεντι γὰρ χειμῶνι εἴαρ ἕψεται,
ἐν ᾧ γε πάντ' ἀγαλλέμεν φαίνει λίαν·
ἀλαιθέρη δὴ γαῖα ποικίλ' ἐκφέρει
βλαστήματα, καὶ ἄνθη καλ' ἠδ' εὐθαλῆ,
χλοερόν τε κῦδος δένδρεσ' αὖθις ἔρχεται,
καὶ ἔθνε' ὀρνίθων εὐπτέρων κατὰ
τανύφυλλον ὕλην, ἠδ' ὁμοῦ κατ' αὔλακας
φθόγγους μελιγλώσσους ἵκσι πάντοθεν·
οὕτω δὲ μετὰ νυκτὸς βαθισκίου σκότος
φαιδρὸν πάλιν τοι ἤματος σέλας μολεῖ·
οὕτω δὲ διαλυθέντος ὀρφναίου νέφους,
ἐκτείνει ἥλιος βολὰς τερψιβρότους,
οὕτω δὴ ἀήταο ἀναπαύσαντος ζαοῦς
πελέθει γαλήνη ἐν θαλάσσῃ καὶ ἀγροῖς.
ὥσπερ τοι οὖν τοῦ χείματ' εἴαρ, νυκτί τε
φάος, κυφέλλησιν τε αὐγὴ ἡλίου,
νηνεμίη ἠδ' αὐρῶν ὀπηδέει πνοῆς·
οὕτω καὶ ἀνίῃσιν μερίμναις χάρματα
εἴωθ' ἕπεσθαι πολλάκις μάλ' ἀγλαά.
τώνη μεῦ ἀνὴρ ἐν φρεσὶν σοφώτατε,
μεγάλοισιν ἦτορ ἔχες ἄλγεσιν βαρὺ
ἀμειλίχοιο καὶ λυγροῦ ὅτι κράτος
θανάτοι' ἀνήρπαξεν γυναῖκά σευ φίλην.
ἔστιν γὰρ εὐφρονοῦσα θησαυρὸς βίου·
προφερέστατος πάντων ἄκοιτις: εἴποτε
λαβροὶ ἐπαιγίζουσ' ἄηται χείμασι,
ἀνδρί τότε θαλπωρὴν ὀπάζει φιλτάτην·
εἰ σείριός τε ἄζει αὐχμοῖσιν, πνέει

ψυξίμβροτον

ψυχίμβροτόν τοι ἄνευθεν· ἐν δὲ κύμασιν
ἐστὶν γαλήνη ὅρμος δ᾽ ἐν ἀπλοΐῃ,
ἐν ἀσθενείᾳ ἀλκὴ, ἐν δὲ κήδεσιν
χαρὰ, ὑπ᾽ ἄλγεσιν δὲ τέρψις εὐκάλη,
καὶ ἥμισυ δὴ ἀχθῶν ἁπάντων, ἢ πλέον·
καὶ εἴποτ᾽ ἀνὴρ οὐδὸν οἴκου ἔλλιπε
πεζῇ ὁδεύων, ἠὲ ἅρμασθ᾽ ὕδατος
τηλέπορον ἐς αἶαν, πλεῖν οὗ πρήγματα,
μεσσηγὺ, ὥσπερ κόγχη, ἐν δόμῳ τότε
μίμνει δάμαρ, καὶ τηρέει μιν εὐφρόνως,
πινυτῶς τε δρηστῆρας κυβερνᾷ, καὶ λυγρὰ
καδδύναμιν ὀτρηρῶς ἐέργει πήματα.
τί δ᾽ ἔγωγε μακρηγορέω; οὐκ ἐκφραζέμεν
σύμπαντα οἷός εἰμι λῶστα σύμφορα
ἀκοιτέων· τοῦδε νῦν λόγον μεῦ, νυμφίε
εὔκλειτε, παυρόφθογγον ὡς σε αὖ στρέφω.
τοίνυν μὲν ἀνὴρ, φημὶ, εὐπέσατε
ὀδύνησιν ἤλγησες μέγ᾽. ἀλλὰ νῦν τέως
βαρεῖα σου ἀνίη εἰς ἐπηράτην
ματαβάλλεται χαρὰν, ὅτ᾽ εἰς λέχος σέθεν
καλλίστη ἠδὲ βαίνεται σεμνὴ κόρη.
ἥδ᾽ ἤν, μοι λεχθέντα ἤδη, εὔφρονι
παρέχῃν φρενὶ σπουδάσει ἠδὲ ἔσσεται
ἐν δώματος πλευρῇσι σου ὥσπερ καλῆς
σταφυλῇσι βεβριθυῖ᾽ ἀλωὴ, ὄμμασι
σέθεν τε βλέψεις. ὡς ἔφη ψαλμόγραφος,
παγκοσμίους νέους τε παῖδας παιζέμεν
ἐν γήραϊ ξὺν παμμεγίστῳ χάρματι·
οὗτοι εὐφρανοῦσι θυμόν σου ἄγαν,
καὶ βάκτρον ἔσσονταί σοι, ἠδ᾽ εὐμείλιχη
γερουσίων ἐτῶν σέθεν παραψυχή.
ἐπεὶ δὴ οὖν ταῦτ᾽ ἐστὶν οὕτω, νυμφίε

ἐν

ἐν μουσείων τούτῳ θοάσμασι φρένας
βόσκων σοφοῖς μύθοισιν ἥδει πῶν, πρὸς
ἴαινε ἐν στήθεσσι θυμὸς ἔξοχος.
κἀγὼ ἐπεύχομαι μου ἀείζωον θεόν,
συζυγίη ὡς ὑμῶν πέλῃ τρισόλβιος,
δίδωσι δ᾽ ὑμῖν πάντα καλ᾽ ὀλυμπόθεν.
φύῃ δὲ νύμφη σου γάμου βλαστήματα,
γενετῆρα ποιοῦσα τέκνοις σ᾽ ἀγλαοῖς,
δηρόν τε ὡς ξὺν νύμφῃ εὐσεβεστάτῃ
συννυμφίε κλυτὲ, βίον ἕλκῃς, λίσσομαι.

*Petrus Fuchsius Schusensis.*

Id 4212. 8°

ULB Halle 3
002 391 589

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-216882-p0015-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-216882-p0016-9

XLIX

# Gratulatoria

## In Honorem Nuptiarum,

CLARISSIMI ET DISERTISSIMI VIRI, Dn. M. MICHAELIS Richardi, Profeſſoris oratoriæ in celeberrima VViteberg. Acad. publici, ſponſi: & lectiſſimæ caſtiſsimæq; virginis, ANNAE, integerrimi viri, Ioachimi Beckers, ciuis quondam Hamburgenſis filiæ, ſponſæ, conſcripſerunt.

*VVITEBERGAE*

*Excudebat Matthæus VVelack.*

*Anno 1589.*

3

Clariss. viro, excellenti doctrina, pietate

B.I.G. Farbkarte #13 Inches Centimetres Blue Cyan Green Yellow Red Magenta White 3/Color Black

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-216882-p0017-5
DFG